# *Lektion 30: Macht vor Recht*

„Φύσει μὲν αἴσχιόν ἐστιν τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν. Οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ’ ἐστὶν τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλλ’ ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστιν τεθνάναι[1] ἢ ζῆν· οὗτος γὰρ ἀδικούμενος οὐχ οἷός τέ ἐστιν αὐτὸς ἑαυτῷ βοηθεῖν οὐδὲ ἄλλῳ τινί.

Ἀλλ’, οἶμαι, οἱ πολλοὶ ἐκφοβοῦντες[2] τοὺς ἐρρωμενεστέρους[3] τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν λέγουσιν, ὡς αἰσχρόν τε καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό[4] ἐστιν τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν.

Ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ τόδ’ ἀποφαίνει, ὅτι δίκαιόν ἐστιν τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. Δηλοῖ[5] δὲ πολλαχοῦ, ὅτι ταῦτα οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ ἐν τοῖς ἀνθρώποις, ὅτι[6] οὕτω τὸ δίκαιον κέκριται[7], τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν.

Δοκεῖ δέ μοι καὶ Πίνδαρος, ἅπερ ἐγὼ λέγω, ἀποφαίνειν ἐν τῇ ᾠδῇ, ἐν ᾗ λέγει, ὅτι Ἡρακλῆς οὔτε πριάμενος οὔτε δωρουμένου τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς, ὡς τούτου[8] ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ τἆλλα κτήματα τὰ τῶν χειρόνων τε καὶ ἡττόνων εἶναι πάντα τοῦ βελτιόνός τε καὶ κρείττονος

[1] τεθνάναι] *tot sein*
[2] ἐκφοβέω] *einschüchtern*
[3] ἐρρωμένος, -η, -ον] *stark*
[4] τοῦτο] nämlich τὸ … ἔχειν
[5] δηλοῖ < δηλό-ει
[6] ὅτι: *nämlich dass …*
[7] κέκριται: *es ist definiert*
[8] τούτου] nämlich καὶ βοῦς καὶ τἆλλα … κρείττονος

*Pindar, fr. 169a Snell*

Νόμος, ὁ πάντων βασιλεύς
θνατῶν[1] τε καὶ ἀθανάτων,
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ[2] χειρί.

[1] dorisch für θνητῶν
[2] dorisch für ὑπετάτῃ